νεῦcαι αὐτὸν τὸν Ὀδυccέα. καὶ φιλονεικήcαντες πρὸς ἀλλήλους ἀπέπλευcαν. ζήτει ἐν τῷ Διομήδειος ἀνάγκη.

35 Παλλάδιος, Παλλαδίου, Μεθωναῖος, σοφιστής. γέγονε δὲ ἐπὶ Hesy.
Κωνσταντίνου τοῦ βασιλέως. Περὶ τῶν παρὰ Ῥωμαίοις ἑορτῶν, Διαλέξεις, λόγους διαφόρους, Ὀλυμπιακόν, Πανηγυρικόν, Δικανικόν.

36 Παλλαδίων χρυσουμένων: ἐν ταῖς πρώραις τῶν τριήρων οἱ Ar.
Ἀθηναῖοι ἀγάλματά τινα ξύλινα τῇ Ἀθηνᾷ καθίδρυον, ὧν ἐπεμελοῦντο μέλλοντες πλεῖν.

37 Παλάθαι: μᾶζαι σύκων. καὶ Παλασίων, τῶν πεπατημένων Σ
ἰσχάδων. παλάθαι δὲ εἶδος βοτάνης. Παλάθαι, τὰ ἐκ τρυγὸς Ar.
πλάσματα· ἢ ἡ ἐπάλληλος θέσις τῶν σύκων. Hdt.

38 Παλλακή, Παλλακὶς δέ. Δ

39 Παλάμαι: αἱ τέχναι, χεῖρες. ὦ παλάμαι θνητῶν, ὦ δύστηνα
γένη βροτῶν, οἷς μὴ μέτριος αἰών. οὗτος. καὶ ἑξῆς. Soph.

40 Παλαμᾶσθαι: τεχνάζεσθαι. καὶ Παλαμάσθω· πρὸς ταῦθ' ὅ Σ
τι χρῇ καὶ παλαμάσθω, καὶ πᾶν ἐπ' ἐμοὶ τεκταινέσθω· τὸ γὰρ εὖ μετ' Ar.
ἐμοῦ, καὶ τὸ δίκαιον ξύμμαχον ἔσται. καὶ οὐ μήθ' ἁλῶ κακὰ πράσσων. καὶ αὖθις· ὁποῖα παλαμᾶται. ἀντὶ τοῦ τεχνάζεται. καὶ Ἀπάλαμνος παρ' Ὁμήρῳ, ὁ ἄτεχνος.

41 Παλάμη: τέχνη. Ἡρόδοτος· ἔλεγέ σφιν ὡς δοκέοι ἔχειν παλάμην, τῇ ἐλπίζοι τῶν βασιλέως συμμάχων ἀποστήσειν τοὺς ἀρίστους. E
Παλάμῃ οὖν τῇ ἀρχῇ. Suid.

42 Παλαμήδειος λόγος: τοῦ Παλαμήδους. Δ

43 Παλαμήδης, Ἐλεατικός, γραμματικός. Κωμικὴν καὶ τραγικὴν Hesy.
λέξιν, Ὀνοματολόγον, ὑπόμνημα εἰς Πίνδαρον τὸν ποιητήν.

44 Παλαμήδης, Ναυπλίου καὶ Κλυμένης, Ἀργεῖος, ἐποποιός. ἦν Hesy.
δὲ οὗτος ἀνεψιὸς τοῦ βασιλέως Ἀγαμέμνονος πρὸς μητρός. ἔσχε δὲ εὐφυῶς πρός τε φιλοσοφίαν καὶ ποιητικὴν καὶ εὑρετὴς γέγονε τοῦ Ζ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id413863263/11 UNIVERSITÄT LEIPZIG